— οὔνομα μὲν Πραξὼ Σαμίη, ξένε, ἐκ δὲ γονῆος
Καλλιτέλευς γενόμαν, ἀλλ᾽ ἔθανον τοκετῷ.
— τίς δὲ τάφον στάλωσε; — Θεόκριτος, ᾧ με σύνευνον
ἀνδρὶ δόσαν. — ποίην δ᾽ ἦλθες ἐς ἡλικίην;
— ἑπταέτις τρὶς ἑνὸς γενόμαν ἔτι. — ἦ ῥά γ᾽ ἄτεκνος;
οὔκ, ἀλλὰ τριετῆ παῖδα δόμῳ λιπόμαν.

## II

τὰν πάρος ἄτρεστον Λακεδαίμονα, τᾶς χέρα μούνας
πολλάκι τ᾽ ἐν πόλεσιν δῆριν ἔφριξεν Ἄρης
* * * * * * * *
νῦν ὑπ᾽ ἀνικάτῳ Φιλοποίμενι δουρί τ᾽ Ἀχαιῶν
πρήνης ἐκ τρισσᾶν ἤριπε μυριάδων
ἄσκεπος· οἰωνοὶ δὲ περισμυχηρὸν ἰδόντες
μύρονται, πεδίον δ᾽ οὐκ ἐπίασι βόες·
καπνὸν δ᾽ ἐκθρῴσκοντα παρ᾽ Εὐρώταο λοετροῖς
Ἑλλὰς δερκομένα μύρεται ἀκρόπολιν.

# ARCHELAUS

## I [Asclep. XLIII G.–P.]

τόλμαν Ἀλεξάνδρου καὶ ὅλαν ἀπεμάξατο μορφάν
Λύσιππος· τίν᾽ ὅδὶ χαλκὸς ἔχει δύναμιν;
αὐδάσοντι δ᾽ ἔοικεν ὁ χάλκεος ἐς Δία λεύσσων
"γᾶν ὑπ᾽ ἐμοὶ τίθεμαι, Ζεῦ, σὺ δ᾽ Ὄλυμπον ἔχε."